5 [1] Καὶ σύ, Βηθλεεμ οἶκος τοῦ Εφραθα, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν
χιλιάσιν Ιουδα· ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν
2 τῷ Ισραηλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. [2] διὰ
τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης τέξεται, καὶ οἱ ἐπίλοιποι
3 τῶν ἀδελφῶν αὐτῶν ἐπιστρέψουσιν ἐπὶ τοὺς υἱοὺς Ισραηλ. [3] καὶ
στήσεται καὶ ὄψεται καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύι κυ-
ρίου, καὶ ἐν τῇ δόξῃ τοῦ ὀνόματος κυρίου τοῦ θεοῦ αὐτῶν ὑπάρ-
4 ξουσιν· διότι νῦν μεγαλυνθήσεται ἕως ἄκρων τῆς γῆς. [4] καὶ ἔσται
αὕτη εἰρήνη· ὅταν Ἀσσύριος ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν καὶ ὅταν
ἐπιβῇ ἐπὶ τὴν χώραν ὑμῶν, καὶ ἐπεγερθήσονται ἐπ' αὐτὸν ἑπτὰ
5 ποιμένες καὶ ὀκτὼ δήγματα ἀνθρώπων· [5] καὶ ποιμανοῦσιν τὸν Ασ-
σουρ ἐν ῥομφαίᾳ καὶ τὴν γῆν τοῦ Νεβρωδ ἐν τῇ τάφρῳ αὐτῆς·
καὶ ῥύσεται ἐκ τοῦ Ασσουρ, ὅταν ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν καὶ
6 ὅταν ἐπιβῇ ἐπὶ τὰ ὅρια ὑμῶν. [6] καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ Ιακωβ
ἐν τοῖς ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν ὡς δρόσος παρὰ κυρίου
πίπτουσα καὶ ὡς ἄρνες ἐπὶ ἄγρωστιν, ὅπως μὴ συναχθῇ μηδεὶς
7 μηδὲ ὑποστῇ ἐν υἱοῖς ἀνθρώπων. [7] καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ
Ιακωβ ἐν τοῖς ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν ὡς λέων ἐν κτήνε-
σιν ἐν τῷ δρυμῷ καὶ ὡς σκύμνος ἐν ποιμνίοις προβάτων, ὃν τρό-
πον ὅταν διέλθῃ καὶ διαστείλας ἁρπάσῃ καὶ μὴ ᾖ ὁ ἐξαιρούμενος.
8 [8] ὑψωθήσεται ἡ χείρ σου ἐπὶ τοὺς θλίβοντάς σε, καὶ πάντες οἱ
ἐχθροί σου ἐξολεθρευθήσονται.
9 [9] Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος, ἐξολεθρεύσω τοὺς
10 ἵππους σου ἐκ μέσου σου καὶ ἀπολῶ τὰ ἅρματά σου [10] καὶ ἐξολε-
θρεύσω τὰς πόλεις τῆς γῆς σου καὶ ἐξαρῶ πάντα τὰ ὀχυρώματά
11 σου· [11] καὶ ἐξαρῶ τὰ φάρμακά σου ἐκ τῶν χειρῶν σου, καὶ ἀπο-
12 φθεγγόμενοι οὐκ ἔσονται ἐν σοί· [12] καὶ ἐξολεθρεύσω τὰ γλυπτά σου
καὶ τὰς στήλας σου ἐκ μέσου σου, καὶ οὐκέτι μὴ προσκυνήσῃς
13 τοῖς ἔργοις τῶν χειρῶν σου· [13] καὶ ἐκκόψω τὰ ἄλση σου ἐκ μέσου
14 σου καὶ ἀφανιῶ τὰς πόλεις σου· [14] καὶ ποιήσω ἐν ὀργῇ καὶ ἐν
θυμῷ ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἀνθ' ὧν οὐκ εἰσήκουσαν.
6 [1] Ἀκούσατε δὴ λόγον κυρίου· κύριος εἶπεν Ἀνάστηθι κρίθητι πρὸς

**5 1** του 1° > B† | εκ σου] εξ ου B*C: cf. Nah. 1 11 | εξελευσ.] + ηγουμενος A†: ex Matth. 2 6 | εν τω] του B† | και αι] αι > BC || 3 κυριου 1° W] κυριος BAQLC | του 1° > BLC, 2° > BC | μεγαλυνθησεται B*WL] -σονται A QB$^{c}$C || 4 αυτη] + η AL | οταν ασσυριος AQW] οταν ο ασσ. L, tr. C†, ασσουρ οταν B† || 7 του > B | λαων πολλων] tr. B† || 9 εκεινη / τη ημ. Q W] tr. ALC, εκεινη > B†: cf. Os. 2 18 | σου 1° > B† || 11 εξαρω] εξολε(uel ο)θρευσω BL† | τα] pr. παντα A || 13 σου 1° AQW] > BLC || 14 οργη ... θυμω] tr. A | fin.] + μου A

**6 1** λογον κυριου κυριος ειπεν W†] λ. κυριος κυριος ει. B†, α ο κυριος ει. QC, α ει. κυριος L†, λ. κυριου α ο κυριος ει. A$^{(\dagger)}$ | κριθητι BWLC] pr. και AQ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/520 UNIVERSITÄT LEIPZIG